*Καιροὶ δὲ καταλύουσι τὰς τυραννίδας.*
*Κατ᾽ †ἰδίαν φρόνησιν οὐδεὶς εὐτυχεῖ.*
*Κόλαζε τὸν πονηρόν, ἄνπερ δυνατὸς ᾖς.*
*Καλὸν τὸ μηδὲν εἰς φίλους ἁμαρτάνειν.*
*Κρίνειν τὸ δίκαιον, μὴ τὸ συμφέρον θέλε.*
*Κούφως φέρειν δεῖ τὰς παρεστώσας τύχας.*
*Καλὸν γυναικὸς εἰσορᾶν καλοὺς τρόπους.*
*Καιροῦ τυχὼν καὶ πτωχὸς ἰσχύει μέγα.*
*Κακοῦ μεταβολὴν ἀνδρὸς οὐ δεῖ προσδοκᾶν.*
*Καλὸν τὸ γηρᾶν καὶ τὸ μὴ γηρᾶν πάλιν.*
*Κάλλιστα πειρῶ καὶ λέγειν καὶ μανθάνειν.*
*Κακὸν φυτὸν πέφυκεν ἐν βίῳ γυνή,*
*καὶ κτώμεθ᾽ αὐτὰς ὡς ἀναγκαῖον κακόν.*
*Καιρῷ σκόπει τὰ πράγματ᾽, ἄνπερ νοῦν ἔχῃς.*
*Κἂν τοῖς ἀγροίκοις ἐστὶ παιδείας ἔρως.*
*Καλὸν φέρουσι καρπὸν οἱ σεμνοὶ τρόποι.*
*Κάλλιστον ἐν κήποισι φύεται ῥόδον.*